UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

XXIV. De praedictione sancti Juliani Monachi.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

παῤῥησίαν, ἀλλ' ὅτι καὶ πλεῖστοι τῆς ἐκείνου κατεφρόνησαν δυναστείας.

A libertatem, sed alios quoque plurimos vim ac tyrannidem illius contempsisse.

## Κεφ. κγ'.

Περὶ τῆς τοῦ παιδαγωγοῦ προῤῥήσεως.

Καὶ γὰρ ἐν Ἀντιοχείᾳ ἀνήρ τις πάλιν ἄριστος, παιδαγωγεῖν μειράκια πεπιστευμένος, συνήθης μὲν ἦν ὡς πλειόνων λόγων ἢ κατὰ παιδαγωγὸν μετέχων, τῷ τηνικαῦτα τῶν διδασκάλων ἡγουμένῳ· Λιβάνιος δὲ ἦν, ὁ ἐν σοφισταῖς πολυθρύλλητος. δυσσεβὴς δὲ ὑπάρχων καὶ τὴν νίκην προσμένων, καὶ τὰς Ἰουλιανοῦ φανταζόμενος ἀπειλάς, ἤρετο τὸν παιδαγωγὸν κωμῳδῶν τὰ ἡμέτερα, τί ποιεῖ, λέγων, ὁ τοῦ τέκτονος υἱός. ὁ δὲ τῆς θείας ἀπλησθεὶς χάριτος, προείρηκε τὸ μετ' ὀλίγον ἐσόμενον. γλωσσόκομον γὰρ ἔφη, σοφιστά, ὁ τοῦ παντὸς κατασκευάζει δημιουργός, ὃν σὺ κωμῳδῶν, τέκτονος υἱὸν προσηγόρευσας. ὀλίγων δὲ διελθουσῶν ἡμερῶν ὁ τοῦ ἀλάστορος ἐκείνου θάνατος ἐμηνύθη· καὶ ἐν γλωσσοκόμῳ κείμενος ἐκομίσθη· καὶ τῶν ἀπειλῶν ὁ κόμπος μάταιος ἀπεφάνθη, καὶ ὁ θεὸς ἐδοξάσθη.

## Cap. XXIII.

*De prædictione pædagogi.*

Nam & Antiochiæ vir quidam optimus, adolescentium quorundam pædagogus, cùm esset eruditior quàm vulgus pædagogorũ solet, familiaris erat celeberrimi illius Sophistæ Libanii, qui tunc temporis inter Professores principem locum obtinebat. Hic cùm esset impius, & victoriam pro-
B pediem expectaret, minasque Juliani animo revolveret, religionem nostram deridens, quæsivit ex pædagogo, quidnam ageret fabri filius. Ille Divinâ repletus gratiâ, id quod brevi futurum erat, prædixit. Loculum enim, inquit, fabricatur hujus universi conditor, quem tu fabri filium per ludibrium appellas. Nec multis post diebus, nuntius de morte illius allatus est, & ipse in loculo jacens advectus: ac minarum quidem inanis apparuit jactantia: Deus autem glorificatus est.

C

## Κεφ. κδ'.

Περὶ τῆς τοῦ ἁγίου Ἰουλιανοῦ τοῦ μονάζοντος προφητείας.

Καὶ ὁ τῶν ἀσωμάτων δὲ τὸν βίον ἐν σώματι μιμησάμενος, Ἰουλιανὸν λέγω, τὸν Σάββαν ἐπίκλην τῇ Σύρων φωνῇ προσαγορευόμενον, οὗ τὴν πολιτείαν ἐν τῇ Φιλοθέῳ συνεγράψαμεν ἱστορίᾳ, σπουδαιότερον τῷ θεῷ τῶν ὅλων τὴν ἱκετείαν προσέφερε, τὰς τοῦ δυσσεβοῦς ἐκείνου μεμαθηκὼς ἀπειλάς. καθ' ἐκείνην δὲ τὴν ἡμέραν καθ' ἣν ἐκεῖνος ἐδέξατο τὴν σφαγήν, ὑπάρχων ταύτην προσευχόμενος ἔγνω, καίτοι πλειόνων ἢ εἴκοσι σταθμῶν ἐκ τοῦ φροντιστηρίου μέχρι τοῦ στρατοπέδου ἀριθμουμένων. φα-
D σὶ δὲ αὐτὸν ποτνιώμενον καὶ τὸν φιλάνθρωπον ἀντιβολοῦντα δεσπότην, ἐπισχεῖν μὲν ἐξαπίνης τὴν τῶν δακρύων φοράν· διαχυθῆναι δὲ καὶ θυμηδίας πλησθῆναι, καὶ γανωθῆναι τὸ πρόσωπον, καὶ τοῦτο μηνῦσαι τὴν τῆς ψυχῆς ἡδονήν. ταύτην οἱ συνηθέστεροι τὴν μεταβολὴν αὐτοῦ θεασάμενοι, μηνῦσαι σφίσιν ἱκέτευσαν τῆς εὐφροσύνης τὴν ἀφορμήν. ὁ δὲ τὸν σῦν ἔφη τὸν ἄγριον τὸν τοῦ ἀμπελῶνος τοῦ θείου πολέμιον, δίκας εἰσπεπρᾶχθαι τῶν εἰς τοῦτον ἀδικημάτων, καὶ κεῖσθαι νεκρόν, τῆς ἐπιβουλῆς πεπαυμένον. ταῦτα

## Cap. XXIV.

*De prædictione sancti Juliani Monachi.*

Sed & is qui Angelorum corporis expertium vitam in corpore imitatus est Julianus, qui Syrorum lingua Sabba appellabatur, cujus vitam & conversationem in historia Philotheo conscripsimus, cùm minas impii illius accepisset, Deum omnium moderatorem intentius orare cœpit. Eo autem die quo ille lethalē plagam accepit, oranti cædes illius revelata est, quamvis monasterium ejus viginti & amplius mansionum intervallo distaret à castris Roma-
norum. Ajunt enim, cùm lamentaretur & clementi Deo enixius supplicaret, repente illum fluentes lachrymas compressisse, & gaudio atq; hilaritate repletum esse, vultuq; sereno apparuisse: eaque re lætitiam animi sui declarasse. Quam mutationem cùm quidam ex ejus familiaribus conspexissent, rogarunt ut causam hilaritatis ipsis aperiret. Ille silvestrem aprum, vastatorem vineæ DOMINI, pœnas tandem exsolvisse dixit damnorum, quæ intulisset vineæ, & mortuum jacere, nec amplius insidiaturum esse. His auditis, cuncti præ gaudio exultarunt,

A &gratulatorium hymnum Deo cecinerunt. Postea vero ex iis qui mortem ejus nuntiarunt, compertum est, eadem die ac hora quam beatus senex cognoverat atque prædixerat, sceleratum illum extinctum fuisse.

## Cap. XXV.

*De Juliani Imperatoris cæde in Perside.*

PORRO hujus tyranni imprudentiam mors ejus apertissime declaravit. Nam cùm fluvium, qui Romanorum Imperium à Persarum regno separat
B trajecisset, & copias transportasset, statim naves incendit, milites non persuasione, sed necessitate compellens ad bellum gerendum. Ac præstantissimi quidem Duces, militum suorum animos fiducia & alacritate replere solent: ac si quando tristiores eos viderint, recreant illos & spe meliorum confirmãt. Hic verò, spem prosperi eventus statim ab initio præcidit, ponte per quem redeundum erat incenso. Adhæc cum necessarium militibus commeatum undique conquiri & comportari oporteret,
C prudentissimus iste Imperator neque ex Romanorum ditione eum advehi jussit, neque ex hostilis agri deprædatione paravit. Relictis enim locis cultis, per deserta iter fecit. Ibi milites cibi ac potus penuriâ oppressi, & sine itineris ductoribus in solitudine errantes, sapientissimi Imperatoris stultitiam agnoverunt. Cumque lamentarentur atque ingemiscerent, repente saucium cadere vident eum qui adversus Creatorem suum fuerat debacchatus: neque auxiliatum ei fuisse bellipotentem Martem sicuti promiserat: & Apollinem Loxiam falsa vaticinatum:
D nec fulminatorem Jovem in percussorem illius fulmen contorsisse: minarum denique jactantiam prostratam atque eversam esse. Porro quisnam vulnus illud justissimum ei inflixerit, hactenus quidem incompertum est. Sunt qui ex Angelorum ordine quendam, hujus cædis ministrum fuisse dicant. Alii quendam ex Barbaris per desertum vagantibus, quos vulgo Ismaelitas vocant. Alii percussum dicunt à milite, qui famis ac solitudinis molestias ferre non posset. Sed sive homo, sive Angelus gladio eum percussit, certum est quicunque tandem id fecerit, eum Divinæ voluntatis administrum fuisse.

A μεμαθηκότες ἐχόρευον ἅπαντες, καὶ τῷ θεῷ τὸν χαριστήριον προσέφερον ὕμνον. ἔγνωσαν δὲ καὶ παρὰ τῶν τὴν ἐκείνου τελευτὴν μεμηνυκότων, αὐτὴν εἶναι καὶ τὴν ἡμέραν καὶ τὴν ὥραν, καθ' ἣν ἀνήρηται τὸν ἀλιτήριον ὁ θεῖος ἐκεῖνος πρεσβύτης ἔγνω τε καὶ προείρηκε.

## Κεφ. κε΄.

*Περὶ τῆς ἐν περσίδι γεγενημένης σφαγῆς ἰουλιανοῦ τοῦ βασιλέως.*

ΤΗν ἐκείνου δὲ ἀβουλίαν σαφέστερον ὁ θάνατος ἔδειξε. διαβὰς γὰρ τὸν ὁρίζοντα ποταμὸν
B ἀπὸ τῆς περσῶν τὴν ῥωμαίων ἡγεμονίαν, καὶ τὴν στρατιὰν διαβιβάσας, ἐνέπρησε παραυτίκα τὰ σκάφη, πολεμεῖν ἀναγκάζων, οὐ πείθων τοὺς στρατιώτας. οἱ δὲ ἄριστοι στρατηγοὶ ἀναπιμπλάναι προθυμίας τοὺς ἀρχομένους εἰώθασι. κἂν ἀθυμοῦντας ἴδωσι, ψυχαγωγοῦσι καὶ ταῖς ἐλπίσιν ἐπαίρουσιν. οὗτος δὲ τὴν ἀγαθὴν εὐθὺς ἀπέκοψεν ἐλπίδα, τῆς ἐπανόδου τὴν διαβάθραν ἐμπρήσας. πρὸς δὲ τούτοις, δέον πανταχόθεν πορίζειν τε καὶ κομίζειν τοῖς στρατιώ-
C ταις τὴν ἀναγκαίαν τροφήν, ὁ δὲ σοφὸς οὗτος, οὔτε ἐκ τῆς οἰκείας ταύτην προσέταξεν φέρεσθαι, οὔτε τὴν πολεμίαν ληϊζόμενος παρέσχε τὴν ἀφθονίαν. καταλιπὼν γὰρ τὴν οἰκουμένην, διῄει τὴν ἔρημον. ἐνταῦθα δὴ καὶ ποτοῦ καὶ τροφῆς οἱ στρατιῶται σπανίζοντες, καὶ τῆς πορείας ἡγεμόνας οὐκ ἔχοντες, ἀλλ' ἐν ἐρήμῳ χώρᾳ πλανώμενοι, τὴν τοῦ σοφωτάτου βασιλέως ἔγνωσαν ἀβουλίαν. ὀλοφυρόμενοι δὲ καὶ στένοντες, εὗρον ἐξαπίνης κείμενον τραυματίαν τὸν κατὰ τοῦ πεποιηκότος λυττήσαντα· καὶ τὸν ἄρεα τὸν πολεμόκλονον, ἐπίκουρον οὐ γενόμενον κατὰ
D τὴν ὑπόσχεσιν· καὶ τὸν λοξίαν, τὸν τὰ ψευδῆ μαντευσάμενον· καὶ τὸν τερπικέραυνον κατὰ τοῦ κτείναντος τοῖς κεραυνοῖς οὐ χρησάμενον· καὶ τὸν κόμπον τῶν ἀπειλῶν ἐρριμμένον εἰς ἔδαφος· τὸν μέντοι τὴν δικαίαν ἐκείνην ἐπενεγκόντα πληγήν, οὐδεὶς ἔγνω μέχρι καὶ τήμερον. ἄλλοι μὲν τινὰ τῶν ἀοράτων ταύτην αὐτῷ ἐπενηνοχέναι φασίν· οἱ δὲ τῶν νομάδων ἕνα τῶν ἰσμαηλιτῶν καλουμένων· ἄλλοι δέ τινα στρατιώτην, διὰ τὸν λιμὸν καὶ τὴν ἔρημον δυσχεράναντα. ἀλλ' εἴτε ἄνθρωπος, εἴτε ἄγγελος ὦσε τὸ ξίφος, δῆλον ὅτι ὁ τοῦτο δέδρακε, τοῦ θείου νεύματος ὑπουργὸς ἐγεγόνει.